eul_wid: ovu-ab

*Ἀέτιος ὁ Δοξογράφος* · Aetius the Doxographer

# On Doctrines, Remnants

*Περὶ Δογμάτων Ἀπολείμματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine (phi, frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πεζός* Prose
**Affiliation:** Eclectic

284 Theodoret. gr. aff. cur. IV 5 Ξενοφάνης μὲν οὖν ὁ Ὀρθομένους ὁ Κολοφώνιος ὁ τῆς Ἐλεατικῆς αἱρέσεως ἡγησάμενος ἓν εἶναι τὸ πᾶν ἔφησε σφαιροειδὲς καὶ πεπερασμένον, οὐ γενητὸν ἀλλ' ἀίδιον καὶ πάμπαν ἀκίνητον. πάλιν δὲ αὖ τῶνδε τῶν λόγων ἐπιλαθόμενος ἐκ τῆς γῆς φῦναι ἅπαντα εἴρηκεν. αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος ἐστίν 'ἐκ γῆς γὰρ τάδε πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.' Idem IV 7 καὶ Παρμενίδης δὲ ὁ Πύρρητος ὁ Ἐλεάτης Ξενοφάνους ἑταῖρος γενόμενος κατὰ μὲν τὸν πρῶτον λόγον ξύμφωνα τῷ διδασκάλῳ ξυγγέγραφεν· αὐτοῦ γὰρ δὴ τόδε τὸ ἔπος εἶναί φασι 'οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον.' αἰτίαν δὲ τῶν ὅλων οὐ τὴν γῆν μόνον καθάπερ ἐκεῖνος ἀλλὰ καὶ τὸ πῦρ εἴρηκεν οὗτος. Theodoret. [15]

285 IV 8 Μέλισσος δὲ ὁ Ἰθαγένους ὁ Μιλήσιος τούτου μὲν ἑταῖρος ἐγένετο, τὴν δὲ παραδοθεῖσαν διδασκαλίαν ἀκήρατον οὐκ ἐτήρησεν. ἄπειρον γὰρ οὗτος ἔφη τὸν κόσμον ἐκείνων φάντων πεπερασμένον. Idem IV 9 Δημόκριτος δὲ ὁ Ἀβδηρίτης ὁ Δαμασίππου τὴν τοῦ κενοῦ καὶ τῶν ναστῶν πρῶτος ἐπεισήγαγε δόξαν. Idem ibid. ταῦτα δὲ Μητρόδωρος ὁ Χῖος ἀδιαίρετα καὶ κενόν προσηγόρευσεν, Idem ibid. ὥσπερ αὖ πάλιν Ἐπίκουρος ὁ Νεοκλέους ὁ Ἀθηναῖος πέμπτῃ γενεᾷ μετὰ Δημόκριτον γεγονὼς τὰ ὑπ' ἐκείνων ναστὰ καὶ ἀδιαίρετα δὴ κληθέντα ἄτομα προσηγόρευσεν. [10]

286 ἀδιαίρετον δὲ καὶ ἄτομον καὶ ναστὸν οἱ μὲν διὰ τὸ ἀπαθὲς ὠνομάσθαι φασίν, οἱ δὲ διὰ τὸ ἄγαν σμικρὸν ἅτε δὴ τομὴν καὶ διαίρεσιν δέξασθαι οὐ δυνάμενον. (καλοῦσι δὲ οὕτω τὰ σμικρότατα ἐκεῖνα καὶ λεπτότατα σώματα ἃ διὰ τῶν φωταγωγῶν εἰσβάλλων ὁ ἥλιος δείκνυσιν ἐν ἑαυτῷ ἄνω καὶ κάτω παλλόμενα) Theodoret. IV 11 τούτοις δὲ καὶ Ἔκφαντος [ἔκφατος B, διόφαντος vulgo] ὁ Συρακούσιος ὁ Πυθαγόρειος ἠκολούθησε. Theodoret. [12]

287 IV 11 Πλάτων δὲ ὁ Ἀρίστωνος ἀρχὰς εἶναι τῶν ὅλων τὸν θεὸν καὶ τὴν ὕλην καὶ τὰς ἰδέας φησίν. Theodoret.

288 IV 11 Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης ὁ Νικομάχου εἶδος καὶ ὕλην καὶ στέρησιν. στοιχεῖα δὲ οὐ τέσσαρα ἀλλὰ πέντε· ἕτερον γὰρ εἶναι τὸ αἰθέριον εἴρηκεν, ἄτρεπτον καὶ ἀμετάβλητον. Idem IV 12 Ξενοκράτης δὲ ὁ Καλχηδόνιος [καρχηδόνιος codd.] ἀέναον τὴν ὕλην, ἐξ ἧς ἅπαντα γέγονε, προσηγόρευσε. Theodoret. [5]

289

IV 12 ib. Ζήνων δὲ ὁ Κιτιεὺς ὁ Μνασαίου ὁ Κράτητος φοιτητὴς ὁ τῆς Στωικῆς ἄρξας αἱρέσεως, τὸν θεὸν καὶ τὴν ὕλην ἀρχὰς ἔφησεν εἶναι. Idem ibid. ὁ δὲ Ἀπολλωνιάτης Διογένης ἐκ τοῦ ἀέρος ἔφη ξυστῆναι τὸ πᾶν. Theodoret. [5]

292 IV 12 Ἵππασος δὲ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ Βλόσωνος ὁ Ἐφέσιος ἓν εἶναι τὸ πᾶν ἀεικίνητον [ἀκίνητον vulgo; corr. Zeller] καὶ πεπερασμένον, ἀρχὴν δὲ τὸ πῦρ ἐσχηκέναι. Theodoret. [5]

307 IV 13 καὶ τὴν ὕλην δέ γε Θαλῆς μὲν καὶ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Ἡράκλειτος καὶ ὁ τῶν Στωικῶν ὁρμαθὸς τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ ῥευστὴν ἔφασαν εἶναι. Theodor. [5]

308 IV 13 Δημόκριτος δὲ καὶ Μητρόδωρος καὶ Ἐπίκουρος ἀπαθῆ τὰ ἄτομα καὶ τὸ κενὸν προσηγόρευσαν. Idem l. c. ὁ δέ γε Πλάτων σωματοειδῆ τὴν ὕλην ἔφησεν εἶναι καὶ ἄμορφον καὶ ἀνείδεον καὶ ἀσχημάτιστον καὶ ἄποιον παντελῶς. ταῦτα γὰρ πάντα, φησίν, ὕστερον παρὰ τοῦ πεποιηκότος ἐδέξατο. Idem IV 14 Ἀριστοτέλης δὲ αὐτὴν σωματικὴν κέκληκεν. Idem l. c. οἱ Στωικοὶ δὲ σῶμα. Theodoret. [10]

316 IV 14 (post c. 9 7) τὸ δὲ κενὸν οἱ περὶ Δημόκριτον τῶν ἀτόμων ὠνομάκασι τόπον Idem 1. c. οἱ δὲ ἄλλοι ἅπαντες τοῦτόν γε ἄντικρυς κωμῳδοῦσι τὸν λόγον. αὐτίκα τοίνυν Ἐμπεδοκλῆς οὕτω φησίν ‘οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περιττόν‘. Idem 1. c. ὁ δὲ Στράτων ἔμπαλιν ἔξωθεν μὲν μηδὲν εἶναι κενόν, ἔνδοθεν δὲ δυνατὸν εἶναι. Idem 1. c. οἱ δὲ Στωικοὶ ἐντὸς μὲν τοῦ παντὸς μηδὲν εἶναι κενόν, ἐκτὸς δὲ αὐτοῦ πάμπολύ τε καὶ ἄπειρον. Theodoret. [10]

321 VI 13 ... Πυθαγόρας ὁ πολυθρύλητος ἀνάγκην εἶπε περικεῖσθαι τῷ κόσμῳ. Idem 1. c. ὁ δὲ Παρμενίδης τὴν ἀνάγκην [καὶ] δαίμονα κέκληκε καὶ δίκην καὶ πρόνοιαν. Theodoret. [5]

322 VI 13 [post c. 25 3]: καὶ ὁ Ἡράκλειτος δὲ πάντα καθ’ εἱμαρμένην εἴρηκε γίγνεσθαι, ἀνάγκην δὲ τὴν εἱμαρμένην καὶ οὗτος ὠνόμασε. Idem VI 14 καὶ Χρύσιππος δὲ ὁ Στωικὸς μηδὲν διαφέρειν εἶπε τοῦ εἱμαρμένου τὸ κατηναγκασμένον, εἶναι δὲ τὴν εἱμαρμένην κίνησιν ἀίδιον συνεχῆ καὶ τεταγμένην. Ζήνων δὲ ὁ Κιτιεὺς δύναμιν κέκληκε τὴν εἱμαρμένην κινητικὴν τῆς ὕλης, τὴν δὲ αὐτὴν καὶ πρόνοιαν καὶ φύσιν ὠνόμασεν. Theodoret. [10]

323 1. c. οἱ δὲ τοῦτον (Ζήνωνα) διαδεξάμενοι τὴν εἱμαρμένην λόγον ἔφασαν εἶναι τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων.

324 Theodoret. 1. c. καὶ πάλιν ἐν ἑτέροις ξυγγράμμασιν εἱρμὸν αἰτιῶν τὴν εἱμαρμένην κεκλήκασι. Idem VI 15 καὶ τὴν τύχην δὲ ὡσαύτως οἱ μὲν θεὸν ὑπέλαβον καὶ ὡς θεὸν ἐσεβάσθησαν, ὁ δὲ Πλάτων αἰτίαν εἶπεν εἶναι κατά τι ξυμβεβηκὸς γιγνομένην καὶ πάλιν ξύμπτωμα φύσεως ἢ προαιρέσεως κέκληκε. Theodoret. [10]

325 1. c. καὶ ὁ Ἀριστοτέλης δὲ ὡσαύτως αἰτίαν ἔφη κατὰ ξυμβεβηκὸς ἐν τοῖς καθ’ ὁρμὴν ἕνεκά τινος γιγνομένοις ἄδηλόν τε καὶ ἄστατον. Theodoret.

326 VI 15 Ἀναξαγόρας δὲ καὶ Δημόκριτος καὶ οἱ ἐκ τῆς Ποικίλης ὠνομασμένοι ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λόγῳ. Theodoret.

327 IV 15 οὐ μόνον δὲ ἐν τούτοις διαφωνίᾳ γε πλείστῃ ἀλλὰ κἀν τοῖς ἄλλοις ἐχρήσαντο. καὶ γὰρ δὴ τὸν κόσμον Θαλῆς μὲν καὶ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Παρμενίδης καὶ Μέλισσος καὶ Ἡράκλειτος καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Ζήνων ἕνα εἶναι ξυνωμολόγησαν. Idem 1. c. Ἀναξίμανδρος δὲ καὶ Ἀναξιμένης καὶ Ἀρχέλαος καὶ Ξενοφάνης καὶ Διογένης καὶ Λεύκιππος καὶ Δημόκριτος καὶ Ἐπίκουρος πολλοὺς εἶναι καὶ ἀπείρους ἐδόξασαν. Theodoret. [10]

329 IV 16 καὶ οἱ μὲν σφαιροειδῆ τοῦτον εἶναι, οἱ δὲ ἑτεροειδῆ. Idem 1. c. καὶ οἱ μὲν μυλοειδῶς [Anaximenes], οἱ δὲ τροχοῦ δίκην περιδινεῖσθαι [Anaximander] Idem 1. c. καὶ οἱ μὲν ἔμψυχόν τε καὶ ἔμπνουν. Theodoret. [8]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

330 IV 16 οἱ δὲ παντάπασιν ἄψυχον. Idem 1. c. καὶ οἱ μὲν κατ’ ἐπίνοιαν γενητόν, οὐ κατὰ χρόνον, οἱ δὲ ἀγένητον παντελῶς καὶ ἀναίτιον.

331 καὶ οὗτοι μὲν φθαρτόν, ἐκεῖνοι δὲ ἄφθαρτον. Theodoret.

341 IV 17 καὶ τοὺς ἀστέρας δὲ Θαλῆς μὲν γεώδεις καὶ ἐμπύρους ὠνόμασεν. Idem 1. c. ὁ δέ γε Ἀναξαγόρας ἐκ τῆς τοῦ παντὸς περιδινήσεως πέτρους [πέτρας Mich. Glyc. ann. I p. 39, 13 B.] εἶπεν ἀνασπασθῆναι καὶ τούτους ἐκπυρωθέντας τε [τε om. Glyc.] καὶ ἄνω παγέντας ἀστέρας ὀνομασθῆναι. Idem 1. c. καὶ Δημόκριτος δὲ τοῦτον κρατύνει τὸν λόγον. Idem 1. c. ὁ δὲ Διογένης κισηροειδεῖς λέγει εἶναι τούτους (sc. τοὺς ἀστέρας) διαπνοάς τινας ἔχοντας. Theodoret.

342 IV 17 ὁ δὲ Ἀναξίμανδρος συστήματα ἄττα τοῦ ἀέρος ἔφη τροχοειδῶς πεπιλημένα πυρὸς ἔμπλεα εἶναι ἀπό τινων στομίων ἀφιέντα τὰς φλόγας. Idem IV 18 Διογένης δὲ καὶ ἐμπίπτειν εἰς τὴν γῆν τινας τούτων ἔφησε καὶ σβεννυμένους ἐλέγχεσθαι ὅτι λίθων ἔχουσι φύσιν καὶ μάρτυρι χρῆται τῷ ἐν Αἰγὸς ποταμοῖς πυροειδῶς κατενεχθέντι ποτέ. Idem 1. c. ὁ δὲ Πλάτων ὡς ἐπίπαν μὲν τούτους ἐκ τοῦ πυρὸς συνεστάναι, μετέχειν δὲ καὶ τῶν ἄλλων στοιχείων φησίν. Theodoret.

343 1. c. ὁ δέ γε Ἀριστοτέλης τοῦ πέμπτου σώματος εἴρηκε συγγενεῖς. Idem IV 19 Ξενοφάνης δὲ ἐκ νεφῶν μὲν λέγει πεπυρωμένων ξυνίστασθαι· σβεννυμένους δὲ μεθ’ ἡμέραν νύκτωρ πάλιν ἀναζωπυρεῖσθαι καθάπερ τοὺς ἄνθρακας. Idem IV 20 Ἡρακλείδης δὲ καὶ ἄλλοι τῶν Πυθαγορείων τινὲς ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν φασί, γῆν περιέχοντα καὶ ἀέρα. Idem 1. c. καὶ οἱ μὲν σφαιροειδεῖς τούτους εἰρήκασι. Theodoret.

344 1. c. κωνοειδεῖς δὲ Κλεάνθης ὁ Στωικός. Theodoret.

348 IV 22 οἱ δέ φασιν ἁρματιαίῳ [l. ἁρματείῳ] τροχῷ παραπλήσιον (sc. τὸν ἥλιον). Idem IV 21 καὶ μέντοι καὶ τὸν ἥλιον καὶ τὴν σελήνην ὁ Ξενοφάνης νέφη εἶναι πεπυρωμένα φησίν. Theodoret.

349 l. c. post § 11 ὁ δὲ Πλάτων τὸ μὲν πλεῖστον ἔχειν ἐκ τοῦ πυρός, μετέχειν δὲ καὶ τῶν ἄλλων σωμάτων. Idem l. c. post § 3 Ἀναξαγόρας δὲ καὶ Δημόκριτος καὶ Μητρόδωρος μύδρον ἢ πέτρον διάπυρον. Idem l. c. Θαλῆς δὲ γεώδη. Idem l. c. κισηροειδῆ δὲ Διογένη ς. Idem l. c. ὁ δὲ Ἀριστοτέλης σφαῖραν εἶναι ἐκ τοῦ πέμπτου σώματος συνεστῶσαν. Idem l. c. Φιλόλαος δὲ ὁ Πυθαγόρειος ὑαλοειδῆ δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν εἰδώλου τάξιν ἐπέχοντα.

350 Theodoret. IV 21 καὶ ἕτεροι δὲ ἕτερα ἄττα περὶ τούτου ἐδόξασαν ἃ περιττὸν οἶμαι λέγειν, ἵνα μὴ τῆς αὐτῆς μεταλάχω τερθρείας.

351 Theodoret. IV 22 καὶ μεγέθους δὲ πέρι καὶ σχήματος πολλὴ παρ’ αὐτοῖς διαμάχη. Idem l. c. καὶ Ἀναξίμανδρος μὲν ἑπτακαιεικοσαπλασίω τῆς γῆς τοῦτον ἔφησεν εἶναι. Idem l. c. Ἐμπεδοκλῆς δὲ ἴσον τῇ γῇ. Idem l. c. ὁ δὲ Ἀναξαγόρας Πελοποννήσου μείζονα. Idem l. c. Ἡράκλειτος δὲ ποδιαῖον Theodoret.

352 IV 22 post διαμάχη: οἱ μὲν γὰρ αὐτὸν σφαιροειδῆ φασιν. Idem 1. c. οἱ δὲ σκαφοειδῆ. sequitur οἱ δὲ—παραπλήσιον Theodoret.

355 IV 23 καὶ περὶ σελήνης δὲ ὁμοίως ὑθλοῦσι. Theodoret.

356 IV 23 Ἀναξιμένης δὲ καὶ Παρμενίδης καὶ Ἡράκλειτος ἐκ μόνου συνεστάναι πυρός. Idem 1. c. γεώδη μὲν γὰρ ὁ Θαλῆς φησιν. Idem 1. c. Ἀναξαγόρας δὲ καὶ Δημόκριτος στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῶ πεδία καὶ ὄρη καὶ φάραγγας. Idem 1. c. Ἡρακλείδης δὲ γῆν ὁμίχλῃ περιεχομένην. Theodoret.

357

Eulogikon public reading copy · View original HTML at eulogikon.org

IV 23 post 9 ὁ δὲ Πυθαγόρας πετρῶδες σῶμα. 1 Idem 1. c. καὶ οἱ μὲν μείζονα τῆς γῆς ἀποφαίνονται. Idem 1. c. οἱ δὲ ἰσόμετρον. Idem 1. c. οἱ δέ γε ἐλάττονα. Idem 1. c. ἄλλοι δὲ σπιθαμῆς ἔχειν διάμετρον. Idem IV 24 καὶ τί δεῖ λέγειν ὅσα ἐκεῖνοι σχημάτων πέρι καὶ ἐκλείψεων (c. 29) καὶ διαστημάτων (c. 31) μυθολογοῦσιν. Theodoret. [10]

362 IV 24 οὐ γὰρ μόνον ὅσον ἀλλήλων διεστήκασι λέγουσιν ἀλλὰ καὶ ὅσον τῆς γῆς ἀφεστήκασι. Idem 1. c. καὶ τετρακοσίας ἀριθμοῦσι καὶ μέντοι καὶ πλείους σταδίων μυριάδας τὰς μὲν ἀπὸ γῆς μέχρι σελήνης, τὰς δὲ ἐκεῖθεν μέχρις ἡλίου. Theodoret. [5]

386 graec. aff. cur. V 17 Θαλῆς τοίνυν κέκληκε τὴν ψυχὴν ἀκίνητον [1. ἀεικίνητον] φύσιν. Nemes. d. nat. hom. 2 p. 28 Antv. 68 Matth. Θαλῆς μὲν γὰρ πρῶτος τὴν ψυχὴν ἔφησεν ἀεικίνητον καὶ αὐτοκίνητον. Theodoret. 1. c. Ἀλκμὰν δὲ αὐτὴν αὐτοκίνητον εἴρηκεν. Idem. 1. c. ὁ δέ γε Πυθαγόρας ἀριθμὸν ἑαυτὸν κινοῦντα. ξυνεφώνησε δὲ τῷ λόγῳ καὶ Ξενοκράτη ς . Nemes. 1. c. Πυθαγόρας δὲ ἀριθμὸν ἑαυτὸν κινοῦντα. idem p. 44 A. 102 M. Πυθαγόρας ... τὴν ψυχὴν ἀριθμὸν ἑαυτὸν κινοῦντα, ᾧ καὶ Ξενοκράτης ἠκολούθησεν. Theodoret. 1. c. ὁ δὲ Πλάτων οὐσίαν νοητήν, ἐξ ἑαυτῆς κινητήν. Nemes. 1. c. Πλάτων δὲ οὐσίαν νοητὴν ἐξ ἑαυτῆς κινητὴν κατὰ ἀριθμὸν ἐναρμόνιον. Theodoret. [15]

387 V 17 ὁ δὲ Σταγειρίτης ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. ἐντελέχειαν δὲ τὴν ἐνέργειαν κέκληκε. Nemes. p. 28 A. 68 M. Ἀριστοτέλης δὲ ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Theodoret. V 18 Κλέαρχος [ si c ] δὲ τῶν τεσσάρων εἶναι στοιχείων τὴν ἁρμονία ν . Neme s . 1 . c . Δείναρχος δὲ ἁρμονίαν τῶν τεσσάρων στοιχείων ἀντὶ τοῦ κρᾶσιν καὶ συμφωνίαν τῶν στοιχείων. οὐ γὰρ τὴν ἐκ τῶν φθόγγων συνισταμένην, ἀλλὰ τὴν ἐν τῷ σώματι θερμῶν καὶ ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν ἐναρμόνιον κρᾶσιν καὶ συμφωνίαν βούλεται λέγειν. Theodoret. 1. c. Ἀναξιμένης δὲ καὶ Ἀναξίμανδρος καὶ Ἀναξαγόρας καὶ Ἀρχέλαος ἀερώδη τῆς ψυχῆς τὴν φύσιν εἰρήκασιν. Theodoret. [15]

388 V 18 οἱ δέ γε Στωικοὶ πνευματικὴν πλείστου μετέχουσαν τοῦ θερμοῦ. Nemes. p. 28 A. 67 M. οἱ μὲν γὰρ Στωικοὶ πνεῦμα λέγουσιν αὐτὴν ἔνθερμον καὶ διάπυρον. Theodoret. 1. c. Παρμενίδης δὲ καὶ Ἵππασος καὶ Ἡράκλειτος πυρώδη ταύτην κεκλήκασιν. Nemes. 1. c. Δημόκριτος δὲ πῦρ. τὰ γὰρ σφαιροειδῆ σχήματα τῶν ἀτόμων συγκρινόμενα πῦρ τε καὶ ἀὴρ ψυχὴν ἀποτελεῖν Theodoret. 1. c. ὁ δὲ Ἡρακλείδης φωτοειδῆ. Nemes. 1. c. Ἵππων δὲ ὁ φιλόσοφος ὕδωρ. Theodoret. 1. c. Ἐπίκουρος δὲ ὁ Νεοκλέους τεττάρων τινῶν ποιοτήτων κρᾶμα, πυρώδους καὶ ἀερώδους καὶ πνευματικοῦ καὶ τετάρτου τινὸς ἀκατονομάστου. Nemes. [15]

389 28 A. p. 67M. Ἡράκλειτος δὲ τὴν μὲν τοῦ παντὸς ψυχὴν ἀναθυμίασιν ἐκ τῶν ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζῴοις ἀπό τε τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως ὁμογενῆ πεφυκέναι. Theodoret. V 18 ὁ δὲ Ἐμπεδοκλῆς μῖγμα ἐξ αἰθερώδους καὶ ἀερώδους οὐσίας. Idem 1. c. Κριτίας δὲ ἐξ αἵματος εἶπε καὶ ἐξ ὑγροῦ καὶ ἄλλοι δὲ (1. δὴ) αὖ ἄλλα λεληρήκασιν ἐναντία. Nemes. 1. c. ante § 9 Κριτίας δὲ αἷμα. Theodoret. V 19 καὶ μέντοι καὶ περὶ τὴν ταύτης διαίρεσιν πλείστη γε τούτοις γεγένηται διαμάχη. Idem 1. c. Πυθαγόρας μὲν γὰρ καὶ Πλάτων διμερῆ ταύτην εἰρήκασι καὶ τὸ μὲν αὐτῆς εἶναι λογικὸν τὸ δὲ ἄλογον. διχῇ δὲ [αὖ πάλιν] τὸ ἄλογον ἔτεμον. καὶ τὸ μὲν αὐτοῦ θυμικὸν εἶναι τὸ δὲ ἐπιθυμητικόν. Idem 1. c. ὁ δὲ Ξενοκράτης (καὶ ταῦτα τρίτος ἀπὸ Πλάτωνος ὤν, Σπευσίππου γὰρ τοῦ Πλάτωνος ἀδελφιδοῦ γεγένηται φοιτητής) τὸ μὲν αἰσθητικὸν [εἶναι] τῆς ψυχῆς ἔφη, τὸ δὲ λογικόν. [20]

390 Theodoret. V 20 ὁ δὲ Νικομάχου πέντε εἶναι ταύτης ἔφησεν ἐνεργείας τὴν ὀρεκτικὴν τὴν θρεπτικὴν τὴν αἰσθητικὴν τὴν μεταβατικὴν τὴν διανοητικήν. Idem 1. c. ἀλλ' οὐδὲ τοῦτον οἱ Στωικοὶ τὸν ἀριθμὸν ἔστερξαν. ἐξ ὀκτὼ γὰρ μερῶν ἔφασαν τὴν ψυχὴν συνεστάναι, τῆς ὀπτικῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰσθήσεως καὶ τῆς ἀκουστικῆς καὶ τῆς ὀσφραντικῆς καὶ τῆς γευστικῆς καὶ τῆς ἁπτικῆς. ἕκτον δὲ τὸ φωνητικὸν ἔφασαν καὶ τὸ σπερματικὸν ἕβδομον καὶ τὸ ἡγεμονικὸν ὄγδοον, ὑφ' οὗ τούτων ἕκαστον ἐνεργεῖται. 21 εἶπον δὲ αὐτὴν καὶ ταῖς τοῦ πολύποδος ἐοικέναι πλεκτάναις. Idem l. c. οἱ δέ γε Πυθαγόρου διάδοχοι ἐκ πέντε στοιχείων τὸ σῶμα κραθῆναι φάντες (τοῖς γὰρ τέσσαρσι συνέταξαν τὸ αἰθέριον) ἰσαρίθμους εἶναι ἔφασαν τούτοις καὶ τῆς ψυχῆς τὰς δυνάμεις. καὶ ταύτας ὠνομάκασι νοῦν καὶ φρόνησιν καὶ ἐπιστήμην καὶ δόξαν καὶ αἴσθησιν. Theodoret. [20]

391 V 22 ὅσα δὲ καὶ περὶ τῆς τοῦ ἡγεμονικοῦ χώρας διηνέχθησαν πρὸς ἀλλήλους ῥᾴδιον διαγνῶναι. Idem 1. c. Ἱπποκράτης μὲν γὰρ καὶ Δημόκριτος καὶ Πλάτων ἐν ἐγκεφάλῳ τοῦτο ἱδρῦσθαι εἰρήκασιν. Idem 1. c. ὁ δὲ Στράτων ἐν μεσοφρύῳ. Idem 1. c. Ἐρασίστρατος δὲ ὁ ἰατρὸς περὶ τὴν τοῦ ἐγκεφάλου μήνιγγα ἣν καὶ ἐπικρανίδα λέγει. Idem 1. c. Ἡρόφιλος δὲ ἐν τῇ τοῦ ἐγκεφάλου κοιλίᾳ. Idem 1. c. Παρμενίδης δὲ καὶ Ἐπίκουρος ἐν ὅλῳ τῷ θώρακι. Idem l. c. Ἐμπεδοκλῆς δὲ καὶ Ἀριστοκλῆς καὶ τῶν Στωικῶν ἡ ξυμμορία τὴν καρδίαν ἀπεκλήρωσαν τούτῳ. καὶ τούτων δ' αὖ πάλιν οἱ μὲν ἐν τῇ κοιλίᾳ τῆς καρδίας, οἱ δὲ ἐν τῷ αἵματι. καὶ οἱ μὲν ἐν τῷ περικαρδίῳ ὑμένι, οἱ δὲ ἐν τῷ διαφράγματι. Theodoret. [20]

392 V 23 καὶ Πυθαγόρας μὲν καὶ Ἀναξαγόρας καὶ Διογένης καὶ Πλάτων καὶ Ἐμπεδοκλῆς καὶ Ξενοκράτης ἄφθαρτον εἶναι τὴν ψυχὴν ἀπεφήναντο. Idem 1. c. ὁ δὲ Ἡράκλειτος τὰς ἀπαλλαττομένας τοῦ σώματος εἰς τὴν τοῦ παντὸς ἀναχωρεῖν ψυχὴν ἔφησεν οἷα δὴ ὁμογενῆ τε οὖσαν καὶ ὁμοούσιον. Theodoret. [5]

393 V 23 οἱ δὲ Στωικοὶ τὰς χωριζομένας τῶν σωμάτων ψυχὰς διαρκεῖν μὲν καὶ καθ' ἑαυτὰς ζῆν ἔφασαν, ἀλλὰ τὴν μὲν ἀσθενεστέραν ἐπ' ὀλίγον, τὴν δέ γε ἰσχυροτέραν μέχρι τῆς τοῦ παντὸς ἐκπυρώσεως. Idem V 24 Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ Ἀριστοτέλης φθαρτὴν εἶναι ταύτην ἀνέδην εἰρήκασι. Idem 1. c. Πλάτων δὲ καὶ Πυθαγόρας τὸ μὲν λογικὸν αὐτῆς ἄφθαρτον εἶναι, φθαρτὸν δὲ τὸ ἄλογον. Idem 1. c. καὶ ὁ μὲν Πλάτων καὶ τὰ φυτὰ ζῷα κέκληκε τοῦ τρίτου γε [?] τῆς ψυχῆς εἴδους τοῦ ἐπιθυμητικοῦ μόνον μετέχοντα. Idem 1. c. ὁ δέ γε Ἀριστοτέλης ζῷα μὲν αὐτὰ εἰπεῖν οὐκ ἠνέσχετο (τὸ γὰρ δὴ τῆς αἰσθητικῆς μετέχον ψυχῆς τοῦτο καλεῖσθαι ζῷον ἠξίωσε) τῆς φυτικῆς μέντοι καὶ θρεπτικῆς ψυχῆς μετέχειν ὑπέλαβε τὰ φυτά. Idem l. c. ἀλλὰ τοῦτόν γε τὸν λόγον οἱ τῆς Ποικίλης οὐ προσεδέξαντο τὴν γάρ τοι φυτικὴν δύναμιν καλεῖν ψυχὴν οὐκ ἠνέσχοντο. Nemes. p. 77 A. 176 M. καλεῖται δὲ πολλάκις αἴσθησις καὶ τὰ αἰσθητήρια. [20]

394 ἔστι δὲ αἴσθησις ἀντίληψις τῶν αἰσθητῶν ... διὸ καὶ οὕτως ὁρίζονται τὴν αἴσθησιν· πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον. ἔτι δὲ καὶ οὕτω· δύναμιν ψυχῆς ἀντιληπτικὴν τῶν αἰσθητῶν· αἰσθητήριον δὲ ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν. Nemes. p. 77 A. p. 176 M. Πλάτων δὲ τὴν αἴσθησιν λέγει ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος, ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. Nemes. [10]

401 p. 75 Antv. 171 Matth. Φανταστικὸν μὲν οὖν ἐστι δύναμις τῆς ἀλόγου ψυχῆς διὰ τῶν αἰσθητηρίων ἐνεργοῦσα· φανταστὸν δὲ τὸ τῇ φαντασίᾳ ὑποπῖπτον ὡς αἰσθήσει αἰσθητόν· φαντασία δέ ἐστι πάθος τῆς ἀλόγου ψυχῆς ὑπὸ φανταστοῦ τινος γινόμενον· φάντασμα δὲ πάθος διάκενον ἐν τοῖς ἀλόγοις τῆς ψυχῆς μέρεσιν ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον. Idem p. 76 A. 172 M. οἱ δὲ Στωικοὶ τέσσαρα ταῦτά φασι φαντασίαν φανταστὸν φανταστικὸν φάντασμα, φαντασίαν μὲν λέγοντες τὸ πάθος τῆς ψυχῆς τὸ ἐνδεικνύμενον ἐν ἑαυτῷ [sic codd. Dresd. 1. Monac. 1, τὸ ἐν ἑαυτῷ ante ἐνδεικνύμενον August. 1. 3, vulgo αὐτό τε] καὶ τὸ πεποιηκὸς φανταστόν. ὅταν γὰρ λευκὸν ἴδωμεν, ἐγγίνεταί τι πάθος τῇ ψυχῇ ἐκ τῆς λήψεως αὐτοῦ. ὡς γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τοῖς αἰσθητηρίοις ἐγγίνεται πάθος, ὅταν αἰσθάνηται, οὕτω καὶ ἐν τῇ ψυχῇ, ὅταν ἐννοήσῃ· εἰκόνα γὰρ ἐν ἑαυτῇ δέχεται τοῦ νοητοῦ. Nemes.

402 p. 173 M. φανταστὸν δὲ τὸ πεποιηκὸς τὴν φαντασίαν αἰσθητόν, οἷον τὸ λευκὸν καὶ πᾶν ὅτι [ὃ alii codd.] δύναται κινεῖν τὴν ψυχήν. Idem l. c. φανταστικὸν δὲ τὸν διάκενον διελκυσμὸν ἄνευ φανταστοῦ. Idem l. c. φάντασμα δὲ ᾧ ἐφελκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμόν ὡς ἐπὶ τῶν μεμηνότων καὶ μελαγχολώντων. Nemes.

404 p. 78 A. 178 M. Ἵππαρχος δέ φησιν ἀκτῖνας ἀπὸ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν ἑαυτῶν καθάπερ χειρῶν ἐπαφαῖς καθαπτούσας τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. Idem p. 79 A. 180 M. Πλάτων δὲ κατὰ συναύγειαν, τοῦ μὲν ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὁμογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον συνεκτεινομένου τῷ πυροειδεῖ τῆς ὄψεως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org